www.tezaurliturgic.ro

# ΙΟΥΝΙΟΥ ΚΓ'
# ΜΝΗΜΗ ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΝΕΩΝ ΙΕΡΟΜΑΡΤΥΡΩΝ ΓΕΡΑΣΙΜΟΥ ΚΡΗΤΗΣ, ΝΕΟΦΥΤΟΥ ΚΝΩΣΟΥ, ΙΩΑΚΕΙΜ ΧΕΡΡΟΝΗΣΟΥ, ΙΕΡΟΘΕΟΥ ΛΑΜΠΗΣ, ΖΑΧΑΡΙΟΥ ΣΗΤΕΙΑΣ, ΙΩΑΚΕΙΜ ΠΕΤΡΑΣ, ΓΕΡΑΣΙΜΟΥ ΡΕΘΥΜΝΗΣ, ΚΑΛΛΙΝΙΚΟΥ ΚΥΔΩΝΙΑΣ, ΜΕΛΧΙΣΕΔΕΚ ΚΙΣΑΜΟΥ, ΚΑΛΛΙΝΙΚΟΥ ΔΙΟΠΟΛΕΩΣ ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤΟΙΣ ΕΝ ΚΡΗΤΗι ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ ΕΝ ΕΤΕΣΙΝ ,ΑΩΚΑ'-,ΑΩΚΒ*

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τοὺς στρατιώτας Κυρίου, καὶ Νεομάρτυρας, τοὺς θεαυγεῖς ποιμένας, τοῦ ἐν Κρήτῃ ποιμνίου, ὑμνήσωμεν ἐν ὕμνοις χαρμονικῶς, ἐξαιτοῦντες τὸ ἔλεος, τοῦ πανοικτίρμονος Λόγου ἐξ οὗ λαμπρῶς, τοὺς στεφάνους ἐκομίσαντο.

Κατατεμνόμενοι ξίφει, ἀμνοὶ ὡς ἄμωμοι, ἔνδοξοι Ἱεράρχαι, θεοφόροι Λευῖται, σεπτοὶ Ἱερομόναχοι Μονασταί, εὐλαβεῖς τε Μονάζουσαι, καρποὺς ἡδεῖς Ἐκκλησίᾳ τῇ τοῦ Χριστοῦ, Νεοάθλων ἐκομίσατε.

Τοῦ μυστικοῦ ἀμπελῶνος, κλήματα εὔκαρπα, τῆς Ἐκκλησίας Κρήτης, ἀνεδείχθητε πάντες, Χριστοῦ Ἱερομάρτυρες εὐκλεεῖς, καὶ πανένδοξοι Νέαθλοι, ἱερωσύνης δὲ χάριν ἀθλητικοῖς, ἐκαλλύνατε ἐν αἵμασιν.

Ἐπιδρομαῖς ἀλλοθρήσκων, οὐκ ἐπτοήθησαν, οἱ Κρήτης Ἱεράρχαι, ἀλλ' εὐτόλμῳ καρδίᾳ, καὶ χαίροντες βασάνους ὀδυνηράς, καὶ τὸν βίαιον θάνατον, πάντες ὑπέστησαν ῥώμῃ τοῦ Ἰησοῦ, παρ' οὗ γέρα ἐκομίσαντο.

---

*Ἡ Ἀκολουθία τῶν ἁγίων Κρητῶν Νεομαρτύρων Ἐπισκόπων καὶ τῶν σὺν αὐτοῖς ἀθλησάντων (1821) ἐποιήθη ἐν ἔτει 2000, προνοίᾳ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Πέτρας καὶ Χεῤῥονήσου κ. ΝΕΚΤΑΡΙΟΥ καὶ δημοσιεύεται τὸ πρῶτον ἐνταῦθα. Ὁ Μικρὸς Ἑσπερινός, ἡ β' τριάδα τῶν Προσομοίων τοῦ Μεγάλου Ἑσπερινοῦ, τὸ Δοξαστικὸν τῶν Ἀποστίχων, τὰ δ' Ἰδιόμελα τῆς Λιτῆς (α', γ', πλ. α', καὶ βαρέως ἤχου), τὸ α' Ἀπολυτίκιον, τὸ Ἰδιόμελον τοῦ ν' Ψαλμοῦ, τὰ Προσόμοια καὶ τὸ Δοξαστικὸν τῶν Αἴνων, ὡς καὶ τὸ Συναξάριον συνετάχθησαν ὑπὸ τοῦ Ἱερέως Εὐαγγέλου Παχυγιαννάκη, τὰ δὲ ἐπίλοιπα ὑπὸ τοῦ Ἱερομονάχου Κυρίλλου Κογεράκη.

www.tezaurliturgic.ro



Δόξα Πατρί. Ἦχος β'.

Ταῖς ἀρεταῖς κατηγλαϊσμένοι, Ἀρχιερεῖς Ἱερεῖς, Μονασταὶ καὶ Μιγάδες, Νεομαρτύρων ἁγίων ἡ χορεία, οἱ τῆς Κρήτης τὴν γῆν πορφυρώσαντες, ἐπαξίως συγχορεύετε, μετὰ πάντων τῶν Ἁγίων, ἐν τῇ πανδήμῳ συνάξει ὑμῶν· σήμερον γάρ, ἡ τοῦ Χριστοῦ Ἐκκλησία εὐφραίνεται, ὅτι πλουτίζει ἀδιαλείπτως, τὴν ἁγιοτόκον αὐτῆς πορείαν, λελαμπρυσμένη δὲ τῷ Σωτῆρι ἀνακράζει· Κύριε δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Ἄνθη Χριστοῦ τερπνά, ἱερωσύνης κλέα, ὑμῶν εὐωδεστάτη, καὶ μυριπνόῳ δόξῃ, τὴν Κρήτην κατηυφράνατε.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται...

Μάρτυρες τοῦ Χριστοῦ, καὶ Γένους Ἀθλοφόροι, πλειὰς ἱερωμένων, τὴν γῆν τῆς Κρήτης ὄμβροις, αἱμάτων ἐφοινίξατε.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ...

Τὸν πάντιμον χορόν, Ἱεραρχῶν ἐνδόξων, καὶ Λευϊτῶν τιμίων, σὺν Μοναχοῖς ἀξίοις, νεάθλοις εὐφημήσωμεν.

Δόξα Πατρί. Τριαδικόν.

Τριάδι τῇ σεπτῇ, παρ' ἧς ἡ σωτηρία, ὑπὲρ ἡμῶν ἀπαύστως, μὴ παύσητε πρεσβεύειν, κλεινοὶ Ἱερομάρτυρες.

Καὶ νῦν. Θεοτοκίον.

Ἄχραντε Μαριάμ, ἅμα σὺν Ἱεράρχαις, τοῖς ἐν ναῷ τοῦ θείου, Μηνᾶ σφαγιασθεῖσιν, ὑπὲρ ἡμῶν πρεσβεύετε.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος β'. Ποίοις εὐφημιῶν στέμμασιν.

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τοὺς Ἱεράρχας; τοὺς ἐν ταῖς ἡμέραις κακώσεως, τὸν λαὸν τῆς Κρήτης στηρίξαντας, ῥάβδῳ θεαρέστου ποιμασίας· τὰ ἄνθη, τῆς εὐσεβείας τὰ μυρίπνοα· τὰ σκεύη, διδασκαλίας τὰ πολύτιμα· τοὺς μαρτυρίου τὸν δρόμον, ἐν χρόνοις ὑστέροις, διανύσαντας εὐκλεῶς, καὶ πᾶσι βραβεύοντας, πρεσβείαις αὐτῶν τὰ κρείττονα.

Ποίοις ᾀσματικοῖς μέλεσι, εὐφημήσωμεν τοὺς Ἱεράρχας; τοὺς ἡγησαμένους αἰώνιον, κέρδος τὴν θυσίαν τοῦ σώματος, καὶ σφαγιασθέντας ὥσπερ ἄρνας· τυράννων, τὴν κακουργίαν τοὺς αἰσχύναντας, καὶ κέρας, τῆς εὐσεβείας κραταιώσαντας· τοὺς τοῦ ἐν Κρήτῃ ποιμνίου, ὁσίους ποιμένας, τοὺς θανόντας ὑπὲρ αὐτοῦ, καὶ πᾶσι νῦν βλύζοντας, χαρίτων πηγὴν ἀέναον.

Ποίοις νικητικοῖς ἔπεσι, μακαρίσωμεν τοὺς Ἀθλοφόρους; τοὺς τρυφὰς προσκαίρους μισήσαντας, καὶ ζωὴν τὴν ἄνω ὀνήσαντας, ἄθλοις πανενδόξου μαρτυρίου· ἀρδείαις, σεπτῶν αἱμάτων τοὺς λαμπρύναντας, ἐσχάτως τῆς Ἐκκλησίας τὴν εὐπρέπειαν· τοὺς εὐκλεεῖς στεφανίτας, τῆς Κρήτης τὰ κλέα, καὶ τοῦ Γένους φαιδροὺς πυρσούς, τοὺς νύκτα σκεδάσαντας, δουλείας πικρᾶς τὴν σκότιον.

Ἕτερα. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Δεῦτε ἀνυμνήσωμεν, ἀγαλλιάσει καρδίας, νέφος θεοδόξαστον, τῶν Νεομαρτύρων νῦν, ὦ φιλέορτοι, ὅπερ συνέπηξαν, οἱ ἀτμοὶ αἱμάτων, Ἐπισκόπων Ἱερέων τε, οὓς ἐσφαγίασαν, στίφη τῶν ἐχθρῶν τῶν τῆς πίστεως, ὁμοῦ σὺν Μοναχοῖς σεπτοῖς, καὶ πιστοῦ λαοῦ τοῖς ἀκρέμοσιν. Οὗτοι γὰρ λαβόντες, στεφάνους τῆς ζωῆς παρὰ Χριστοῦ, ὑπὲρ ἡμῶν ἱκετεύουσι, ἵνα χάριν εὕρωμεν.

Δεῦτε εὐφημήσωμεν, τὴν θαυμαστὴν συστοιχίαν, Ἐπισκόπων σήμερον, Ἐκκλησίας καύχημα, τὸ περίδοξον, Κρήτης τὸν Πρόεδρον, γεραρὸν ποιμένα, τὸν πανένδοξον Γεράσιμον, Κνωσοῦ Νεό-

www.tezaurliturgic.ro



φυτον, Λάμπης τὸν σεπτὸν Ἱερόθεον, τὸ Χεῤῥονήσου σέμνωμα, τὸν Ἰωακεὶμ τὸν πανάλκιμον, σὺν τῷ Ζαχαρίᾳ, Σητείας τῷ Ἀγγέλῳ εὐλαβῶς, ὅπως αὐτῶν ταῖς δεήσεσι, θείαν χάριν εὕρωμεν.

Δεῦτε ἐπαινέσωμεν, Ἰωακεὶμ τὸν τῆς Πέτρας, τὸν σοφὸν Καλλίνικον, τὸ τῆς Διοπόλεως, ἐγκαλλώπισμα, ἄλλον Καλλίνικον, τὸν τῆς Κυδωνίας, ποιμενάρχην χριστομίμητον, θεῖον Γεράσιμον, κλέος τῆς Ῥεθύμνης τὸ ἄφθιτον, καὶ τὸ Κισάμου κλέϊσμα, τὸν Μελχισεδὲκ τὸν ἀοίδιμον· σὺν τούτοις δὲ πάντας, τοὺς αἵμασιν ἀθλήσεως τὴν γῆν, τῆς Κρητονήσου φοινίξαντας, ἐν ἐσχάτοις ἔτεσι.

Δόξα Πατρί. Ἦχος πλ. β΄.
Κυρίλλου Ἱερομονάχου.

Σήμερον ὡς πολύφωτος λυχνία, τῆς τῶν Κρητῶν Ἐκκλησίας τῷ πληρώματι, τῶν ἐν αὐτῇ ἐν ἔτεσιν ἐσχάτοις, ὑπὲρ τῆς πίστεως ἀθλησάντων Ἱεραρχῶν, ἡ σεβασμία πανήγυρις ἐξέλαμψε, πιστῶν τὰς καρδίας φωτίζουσα, τῶν ἐν ὁμοφροσύνῃ βοώντων· χαίρετε ποιμένες μακάριοι, οἱ πρὸς νομὰς τῆς ἐν Χριστῷ πολιτείας, τὴν ἐκλογάδα τοῦ Τίτου ποιμάναντες, καὶ προθύμως ὑπὲρ αὐτῆς, μαρτυρίου τοῦ κρατῆρος γευσάμενοι· χαίρετε ἀήττητοι Μάρτυρες, οἱ ὡς κριοὶ ἐπίσημοι εὐσεβείας, χερσὶ τῶν ἀσεβῶν σφαγιασθέντες, καὶ τῆς ἐν Χριστῷ ἐλευθερίας τὸ ἔαρ, τῇ ποίμνῃ ὑμῶν δωροφορήσαντες· χαίρετε τῆς ἐνεγκαμένης πολιοῦχοι, καὶ ἐν σκήψεσιν ἀκαθαίρετοι πύργοι, τοῦ χριστωνύμου αὐτῆς πληρώματος. Ἀλλ᾽ ὡς χάριν παῤῥησίας εὑράμενοι, σὺν τοῖς ἐνδόξοις ὑμῶν συναθληταῖς, ἱκετεύετε ἀπαύστως τὸν Θεόν, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.
(Κεφ. μγ΄ 9 - 14).

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.
(Κεφ. ι΄ 7, ϛ΄ γ΄ 13-15 η΄ 6, 34, 35, 4, 12, 14, 17, 5-9 κϐ΄ 21, 19 ια΄ 4).

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ. Καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν, ἄκακοι, πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ

www.tezaurliturgic.ro



ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
(Κεφ. γ΄ 1-9).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄. Εὐαγγέλου Ἱερέως.

Τὰ Κρητῶν φιλεόρτων συστήματα, καὶ φιλαγίων χορεῖαι, δεῦτε εὐφημήσωμεν, ἐν ᾠδαῖς πνευματικαῖς τὴν ἔνδοξον μνήμην, τῶν ἡμετέρων Νεομαρτύρων· ἐν οἷς ὡς ἀρετῆς καὶ ἀνδρείας ἀκροθίνια, δεκὰς ἱερομαρτύρων Ἐπισκόπων, Ἱερέων δέσμη ἑπτά τε καὶ δέκα, καὶ πεντὰς τοῦ ἁγιωνύμου ὄρους Μοναστῶν. Οὗτοι γὰρ θυσίαν εὐπρόσδεκτον, τὰ ἑαυτῶν προσφέροντες σώματα, καὶ τὰς ψυχὰς αὐτῶν λευκάναντες ὡς χιόνα, τοῖς οἰκείοις αἵμασι λελουσμένας, τὴν τῶν οὐρανῶν βασιλείαν ἐκληρονόμησαν· πρεσβεύουσι δὲ ἀπαύστως Χριστῷ τῷ Θεῷ, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος β΄. Κυρίλλου Ἱερομονάχου.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἐν τῇ μνήμῃ σήμερον, τῶν εὐκλεῶν Νεομαρτύρων ὦ φιλέορτοι· δεῦτε εὐφημήσωμεν αὐτούς, διατόρως κραυγάζοντες καὶ λέγοντες· χαίρετε Ἐπισκόπων δεκάς, Ἱερέων τε δῆμος, καὶ Μοναχῶν ἰσαγγέλων σειρά, σὺν προκρίτων καὶ ἰδιωτῶν πλήθει, οἱ ἐν ἐσχάτοις ἀθλήσαντες καιροῖς, καὶ τοῦ Σωτῆρος Χριστοῦ τὸ πάθος, ἐν ἑαυτοῖς ἀναζωγραφήσαντες· οἱ τὴν ἐν Κρήτῃ ποίμνην στηρίξαντες, ὑπὲρ αὐτῆς προσκαίρου θανάτου, ὡς καρτερόψυχοι καταφρονήσαντες. Ἀλλ᾽ ὡς χάριν παῤῥησίας πλουτήσαντες, τῇ Ἁγίᾳ Τριάδι πρεσβεύετε, ἵνα ῥυσθῶμεν συμφορῶν, καὶ πάσης περιστάσεως.

Ἦχος γ΄. Εὐαγγέλου Ἱερέως.

Τρισόλβιοι ποιμένες Χριστοῦ, Ἱεροάθλων οἱ πρόκριτοι, μετὰ παῤῥησίας τὸν Χριστὸν ὡμολογήσατε, καὶ μυρίαις βασάνοις ὑπομείναντες, ὡς ἥλιοι λαμπροί, διασχίσαντες σκότια νέφη δουλείας, ταῖς τῶν ὑμετέρων αἱμάτων λαμπηδόσι, τὴν Ἐκκλησίαν τῆς Κρήτης κατελαμπρύνατε. Διὸ ἐν οὐρανοῖς σὺν Ἀγγέλοις, καὶ τοῖς ἀπ᾽ αἰῶνος Ἁγίοις συναγαλλόμενοι, ὑπὲρ ἡμῶν τοῦ Κυρίου μὴ παύσησθε δεόμενοι, ὡς μαρτυρικῆς εὐκλείας ἀξιωθέντες, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν εἰρήνην, καὶ παντὶ τῷ κόσμῳ φωτισμόν, καὶ τὸ μέγα ἔλεος.

Ἦχος δ΄. Κυρίλλου Ἱερομονάχου.

Δεῦτε σήμερον οἱ πιστοί, ἐν τῷ ναῷ τοῦ κλεινοῦ μεγαλομάρτυρος, Μηνᾶ τοῦ θαυματοβρύτορος προσέλθωμεν, τοὺς ἐν αὐτῷ εὐκλεῶς μαρτυρήσαντας, ἐν ἐγκωμίοις γεραίροντες, Γεράσιμον τὸν Κρήτης πρόεδρον, Ζαχαρίαν Ἰωακείμ, Νεόφυτον καὶ Καλλίνικον, σὺν τοῖς αὐτῶν συναθληταῖς. Οὗτοι γὰρ ἀδελφὰ συμφρονήσαντες, τοῦ μαρτυρίου τὴν ὁδὸν συνεπορεύθησαν, μηδαμῶς δειλιάσαντες, τῶν τυράννων τὸ φρύαγμα· διὸ καὶ ἐν τῷ σφαγιάζεσθαι ἀπηνῶς, ὡς ἐν ἑνὶ στόματι τῷ Κυρίῳ ἔλεγον· γενέσθω δὴ Κύριε ἡ θυσία ἡμῶν, εὐπρόσδεκτος ἐνώπιόν σου, καὶ πρόσδεξαι αὐτὴν εὐμενῶς, ὡς λύτρον ὑπὲρ λαοῦ σου, βαρυαλγοῦντος τῷ τῆς δουλείας ζυγῷ. Ἀλλ᾽ ὦ Νεομάρτυρες ἔνδοξοι, τὰ τῆς Κρήτης αὐχήματα, καὶ τοῦ Γένους ἐρείσματα, ὑπὲρ ἡμῶν δυσωπεῖτε τὸν Θεόν, ἐκ πολεμίων ἐχθρῶν φυλάττειν, καὶ σῴζειν ἐν τῇ πίστει ἡμᾶς, ὡς ὄντες πᾶσι συμπαθέστατοι.

www.tezaurliturgic.ro



Ἦχος πλ. α'. Εὐαγγέλου Ἱερέως.

Σήμερον τὰ στίφη τῶν πιστῶν συνελθόντα, πνευματικοῖς ἐγκωμίοις, τοὺς Κρῆτας εὐκλεεῖς Ἱερομάρτυρας, καὶ τοὺς σὺν αὐτοῖς μαρτυρήσαντας, ἐγκωμίων ἄνθεσι καταστέψωμεν· Γεράσιμον τὸν Κρήτης πολιὸν γεραρὸν ἀθλητήν, καὶ τὸν Ῥεθύμνης αὐτοῦ συνώνυμον· τὸν Νεόφυτον Κνωσοῦ καὶ Σητείας Ζαχαρίαν, τὸν Κισάμου Μελχισεδὲκ καὶ Κυδωνίας Καλλίνικον, τὸν Διοπόλεως συνώνυμον αὐτοῦ, καὶ τὸν Λάμπης Ἱερόθεον, τὸν Πέτρας Ἰωακείμ, καὶ τὸν αὐτοῦ ὁμώνυμον τῆς Χεῤῥονήσου· σὺν τούτοις δὲ τοὺς ἑπτακαίδεκα Ἱερεῖς, τοὺς ἀθωνίτας Πατέρας, λογίους τε καὶ προκρίτους καὶ ἁπλοὺς ἰδιώτας. Πάντας ὡς ἀστέρας λαμπροφαῶς ἐξαστράψαντας, ἐν καιροῖς ἐσχάτοις ζόφῳ δουλείας, ἀνυμνοῦντες προσείπωμεν· ἀλκίφρονες στῦλοι τῆς πίστεως, ὑπὲρ ἡμῶν Χριστὸν ἱκετεύσατε, ὅπως τῇ ἀληθείᾳ αὐτοῦ εἰρηνεύοντες, ἀξιωθῶμεν ἔλεος εὑρεῖν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Ἦχος πλ. β'. Κυρίλλου Ἱερομονάχου.

Νεομάρτυρες Κυρίου ἀήττητοι, τοῦ χειμαζομένου ἐν Κρήτῃ, τῆς δουλείας ταῖς κακουχίαις λαοῦ, παρακλήτορες θεῖοι ἀνεδείχθητε, καὶ μυσταγωγοὶ τῆς ἐν Χριστῷ, ἐλευθερίας σοφώτατοι· ἀδούλωτον γὰρ φρόνημα κεκτημένοι, ταῖς τῶν τυράννων ἀπειλαῖς οὐκ ἐπτοήθητε, καὶ ὑπ' αὐτῶν ἐν καρτερίᾳ ψυχῆς, ποικιλοτρόπως ὡς κακοῦργοι ἀναιρεθέντες, ἐλπίδος τῶν χριστωνύμων τὴν πληθύν, καὶ δυνάμεως οὐρανίου ἐπληρώσατε. Ὅθεν σήμερον χρεωστικῶς, τὴν μνήμην ὑμῶν ἐπιτελοῦντες, ὡς Μάρτυρας στεφανίτας ὑμνολογοῦμεν, καὶ δοξάζομεν Χριστὸν τὸν Θεόν, τὸν ἐν ὑμῖν θαυμαστὸν ὡς γέγραπται.

Ἦχος βαρύς. Εὐαγγέλου Ἱερέως.

Δεῦτε τοὺς νεοφανεῖς σήμερον ἀστέρας, κλεινοὺς Ἱερομάρτυρας καὶ τοὺς σὺν αὐτοῖς ἰδιώτας, ἐκ περάτων συνελθόντες τῆς οἰκουμένης, ἐν τῇ νήσῳ Κρήτης μεγαλύνωμεν ἐκ πόθου, καὶ τούτων ὑμνήσωμεν θεῖα κατορθώματα, ὡς κοινὴν συγκροτήσαντες ἑορτήν, συνοδικῇ διαγνώμῃ τῆς Χριστοῦ Μεγάλης Ἐκκλησίας. Οὗτοι γὰρ τῷ πυρὶ φλεχθέντες τῆς Χριστοῦ ἀγαπήσεως, γενεᾷ τῇ καθ' ἡμᾶς τὴν ὀρθόδοξον πίστιν ἐκήρυξαν, διὰ πολυτρόπων βασάνων ἃς ὡς τρυφὰς ἐλογίσαντο· τὸ πῦρ ὡς αὔραν ἔνδροσον θεωρήσαντες, τὴν εἱρκτὴν ὡς Παραδείσου τόπον, τὴν ἀγχόνην ὡς τὸν Σταυρὸν τοῦ Κυρίου, τὸ ξίφος δὲ ὡς στέφανον. Διὸ νῦν ἐν οὐρανοῖς τοῖς παλαιοῖς συγχορεύοντες Μάρτυσι, σὺν αὐτοῖς ἱκετεύουσι ὡς παῤῥησίαν ἔχοντες, τῷ βασιλεῖ καὶ ἱεράρχῃ Χριστῷ, τὴν εἰρήνην δωρήσασθαι ταῖς ψυχαῖς ἡμῶν.

Ἦχος πλ. δ'. Κυρίλλου Ἱερομονάχου.

Τοὺς θεοειδεῖς ποιμένας, καὶ Ἱεράρχας σοφούς, τοὺς τὴν ἐν Χριστῷ ζωὴν ὑπελθόντας, καὶ ἐπὶ θρόνου ὑψηλοῦ, ἱεραρχίας ἐμπρέψαντας, τοὺς ἐν ἐσχάτοις τοῖς χρόνοις, Μαρτύρων τὸν δρόμον διανύσαντας, καὶ εἰς σκηνὰς ζωῆς καταπαύσαντας, ἐπὶ τῇ μνήμῃ αὐτῶν συνελθόντες, εὐφημήσωμεν κράζοντες· χαίρετε Ἀθλοφόροι μακάριοι, τῆς εὐσεβείας τὰ θεῖα πυξία, καὶ σκεύη τῶν χαρίτων τοῦ Πνεύματος, οἱ ἐν δουλείας τῷ καιρῷ, τοῖς χειμαζομένοις ταῖς θλίψεσι φανέντες, χάριτι θείᾳ παρακλήτορες. Ἀλλ' ὡς παῤῥησίαν πολλήν, πρὸς τὸν σῴζειν δυνάμενον ἔχοντες, ἐκτενῶς πρεσβεύετε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα Πατρί. Ἦχος πλ. δ'.
Κυρίλλου Ἱερομονάχου.

Τῆς πνευματικῆς τοῦ Τίτου φυτείας, τὰ ἀληθῶς πολύφορα κλήματα, τοὺς ἐξανθήσαντας ἐν ἐσχάτοις τοῖς καιροῖς, τοῦ μαρτυρίου τοὺς γλυκυτάτους βότρυας, δεῦτε ἐν αἰνέσει πιστοὶ μακαρίσωμεν, ἀνθομολογοῦντες εὐσήμως καὶ λέγοντες· μακάριοί ἐστε Νεομάρτυρες ἀήττητοι, καὶ τὸ μνημόσυνον ὑμῶν, εἰς γενεὰν καὶ γενεάν, ὅτι ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, ἐν χάριτι μὴ φοβηθέντες, τὴν ἀτελεύτητον ζωήν, τοῖς αἵμασι ἐκληρονομήσατε. Ἀλλ' ὡς ἔχοντες παῤῥησίαν πρὸς Θεόν, ἐν παντοίοις κινδύνοις φρουροῦντες, τὴν ποίμνην ὑμῶν μὴ παύσησθε, καὶ διασῴζοντες ἐκ τῶν βίου λυπηρῶν, τοὺς πόθῳ ὑμᾶς γεραίροντας.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις Ἱεραρχῶν ὁ χορός, οἱ νοητοὶ τῆς εὐσεβείας ἀδάμαντες, ἐσχάτως οἱ ἐν τῇ Κρήτῃ, ὡς ἑωσφόροι φαιδροί, μαρτυρίου ἄθλοις ἀνατείλαντες· Χριστοῦ οἱ δοξάσαντες, ἐν τῷ κόσμῳ τὸ ὄνομα, καὶ ποιμασίας, ἀκριβοῦς τοῖς χαρίσμασι, φιλοπρό-

www.tezaurliturgic.ro



βατοι, ὡς ποιμένες ἐμπρέψαντες· πίστεως οἱ τρανώσαντες, τὸ κράτος τὸ ἄμαχον, καὶ ἀσεβῶν καθελόντες, τὴν ἐπηρμένην αὐθάδειαν. Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

Χαίροις Ἱεραρχῶν ἡ δεκάς, Τίτου φυτείας γεωργοὶ οἱ οὐράνιοι, Γεράσιμος Ζαχαρίας, Μελχισεδὲκ ὁ κλεινός, σὺν τῷ Καλλινίκῳ Ἱερόθεος, ὁ θεῖος Νεόφυτος, καὶ Καλλίνικος δεύτερος, Ἰωακεὶμ τε, καὶ ὁμώνυμος ἕτερος, καὶ Γεράσιμος, οἱ ἐν Μάρτυσι μέγιστοι· θύματα εὐαπόδεκτα, τερπνότατα σφάγια, οἱ ἐν δουλείας τῷ σκότει, ὥσπερ πυρσοὶ ἀναλάμψαντες. Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

Χαίροις Νεομαρτύρων σειρά, τῶν Ἐπισκόπων ἡ δεκὰς ἡ θεόλεκτος, Πρεσβύτεροι θεοφόροι, σὺν Μονασταῖς ἱεροῖς, καὶ λαοῦ τῆς Κρήτης τοῖς ἀκρέμοσι· Χριστοῦ οἱ βαστάσαντες, ἐπαξίως τὸ ὄνομα, καὶ ἐν ἡμέραις, τῆς πικρᾶς χαλεπότητος, μιμησάμενοι, Ἀθλοφόρους τοὺς πρόπαλαι· ἄρνες καθάπερ ἄμωμοι, σφαγὴν οἱ δεξάμενοι, καὶ τοῖς πιστοῖς εὐσεβείας, κρατῆρα θεῖον κεράσαντες. Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα Πατρί. Ἦχος πλ. δ'.
Εὐαγγέλου Ἱερέως.

Σήμερον ἡ τῶν νεομαρτύρων Ἐπισκόπων, Ἱερέων Μοναχῶν καὶ Προκρίτων, ἡ πανσεβάσμιος μνήμη ἀνέτειλε, καὶ τῶν πιστῶν ὡς ἔαρ μυστικόν, κατευφραίνει τὰς καρδίας. Οὗτοι γὰρ ταῖς αὔραις τοῦ Πνεύματος, διασκεδάσαντες δυσοσμίαν τῶν τυράννων, καὶ ταῖς ὀδμαῖς τῆς χάριτος, ταῖς δεήσεσι αὐτῶν τοῖς πᾶσι παρέχουσι, μύρα εὐωδίας παμμυρίστου. Δεῦτε οὖν καὶ ἡμεῖς ὡραϊσθῶμεν ἐν πίστει, ταῖς φωταυγίαις αὐτῶν, ὁμολογοῦντες καὶ κραυγάζοντες· Τριὰς Ἁγία, ταῖς τῶν σῶν Νεομαρτύρων πρεσβείαις, τὴν πίστιν ἡμῶν κράτυνον, τοῦ φυλάττειν τὴν νῆσον ἡμῶν τῇ σῇ δυνάμει, ἀήττητον καὶ ἀπροσμάχητον, ὁρῶντάς σε τὸν ἄναρχον Θεόν, διὰ πάντων ὑπὸ πάντων καὶ ἐν πᾶσι δοξαζόμενον, σὺν οὐρανίοις στρατεύμασι καὶ ἡμῖν δωρούμενον, τῆς σῆς ὑπερλάμπρου βασιλείας τὰ κρείττονα.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὴν πολυθαύμαστον, Κρήτην τιμήσωμεν, τὴν ἐξανθήσασαν, ὡς ἄνθη τίμια, τοὺς Νεομάρτυρας Χριστοῦ, πιστῶν τοὺς θεοῤῥήμονας· πλάνην γὰρ κατῄσχυναν, ὡς ποιμένες θεόφρονες, πίστιν δὲ ὀρθόδοξον, τοῖς πιστοῖς ἐστερέωσαν, Γεράσιμος ὁ πρόεδρος Κρήτης, καὶ πάντες οἱ αὐτῷ συμμαρτυρήσαντες.

Ἕτερον, ψαλλόμενον εἰδικῶς ἐν τῷ Ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Μηνᾶ, ἔνθα οἱ πλεῖστοι τῶν ἁγίων Νεομαρτύρων Ἐπισκόπων ἐμαρτύρησαν.

Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Ὑπόδειγμα ὡς σχόντες, τὸν Μηνᾶν τὸν μυριαθλον, χαίροντες ἐνταῦθα τὸν δρόμον, μαρτυρίου ἠνύσατε, μεθ' οὗ καθικετεύετε ἀεί, Χριστὸν τὸν στεφανώσαντα ὑμᾶς, ὦ Γεράσιμε θεόφρον σὺν τοῖς λοιποῖς, τὴν πόλιν ταύτην φυλάττειν, χαίρετε ἀνακράζουσαν ὑμῖν, ἄνθη ζωῆς εὐωδέστατα, κλέα τῆς Κρητονήσου καὶ στεῤῥοί, αὐτῆς ὑπέρμαχοι.

Ἕτερον. Ἦχος γ'. Θείας πίστεως.

Δῆμος ὤφθητε, τροπαιοφόρος, ἔχων πρόκριτον, δεδοξασμένον, τὸν τῆς Κρήτης ποιμένα Γεράσιμον· ὁμονοοῦντες γὰρ πίστει ἠθλήσατε, καὶ τῶν τυράννων τὸ θράσος ἐλύσατε. Ὅθεν πάντοτε, Χριστῷ τῷ Θεῷ πρεσβεύετε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.
Ἦχος α'. Τὸν τάφον σου.

Χορείαν τὴν σεπτήν, τὸν ὑπέρτιμον δῆμον, τῶν νέων τοῦ Χριστοῦ, καλλινίκων Μαρτύρων, ἐν

www.tezaurliturgic.ro



ὕμνοις γεραίροντες, οἱ πιστοὶ ἐκβοήσωμεν· ἱκετεύετε, ὡς παῤῥησίαν πλουτοῦντες, τὸν φιλάνθρωπον, ἡμῖν διδόναι εἰρήνην, καὶ ἔλεος ἄνωθεν.

Δόξα Πατρί. Ὅμοιον.

Κρητῶν πάντες χοροί, εὐσεβῶς συνελθόντες, τοὺς νέους ἀθλητάς, εὐφημήσωμεν ὕμνοις· Χριστοῦ γὰρ μιμούμενοι, ἐν ἐσχάτοις τὸν θάνατον, κατετρόπωσαν, τὴν τῶν τυράννων μανίαν, καὶ ἐνήθλησαν, ὁμονοήσαντες πίστει, ὡς πλήρεις φρονήσεως.

Καὶ νῦν. Θεοτοκίον.

Χριστὸν τὸν διὰ σοῦ, σαρκωθέντα ἀφράστως, ἱκέτευε ἀεί, ἐν πολλῇ παῤῥησίᾳ, ῥυσθῆναι κολάσεως, τοῦ πυρὸς τοὺς δοξάζοντας, τὴν λοχείαν σου, δι᾽ ἧς ἐχθροῦ τοῦ ἀρχαίου, ἐλυτρώθημεν, τῆς εἰδεχθοῦς τυραννίδος, Παρθένε ἀνύμφευτε.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Λαοῦ προϊστάμενοι, τοῦ ἐν τῇ Κρήτῃ καλῶς, αὐτὸν ἐστηρίξατε, τῷ μαρτυρίῳ ὑμῶν, ἐν χρόνοις κακώσεως. Ὅθεν ὑμᾶς τιμῶμεν, εὐκλεεῖς Ἱεράρχαι, ἅμα τῶν συμμαρτύρων, τῇ ἐνδόξῳ χορείᾳ, αἰτούμενοι ἐν πίστει, ὑμῶν τὴν ἀντίληψιν.

Δόξα Πατρί. Ἦχος ὁ αὐτός. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Οἱ ἐν τῇ Κρήτῃ θεαυγεῖς Ἀθλοφόροι, ἐν τοῖς ἐσχάτοις συναθλήσαντες χρόνοις, καὶ τῶν ἐχθρῶν τὴν ἔπαρσιν συντρίψαντες στεῤῥῶς, σήμερον ἀνίσχουσι, φωταυγεῖς ὡς φωστῆρες, πᾶσαν ἐκδιώκοντες, ἀσεβείας σκοτίαν· οὓς εὐφημοῦντες δῶμεν τῷ Θεῷ, δόξαν συμφώνως καὶ αἶνον χορεύοντες.

Καὶ νῦν. Θεοτοκίον.

Θεοκυῆτορ Παναγία Παρθένε, εὐλογημένη Θεοτόκε Μαρία, τὸν ἐξ ἁγνῶν αἱμάτων σου δυσώπει ἀεί, σῶσαι τοὺς ἐλπίζοντας, τῇ σεπτῇ σου πρεσβείᾳ, καὶ ἀναβοῶντάς σοι, κατανύξει καρδίας· χαῖρε Ἁγνὴ ἡ τέξασα φρικτῶς, τὸν Ποιητὴν καὶ Δεσπότην τῆς κτίσεως.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ὡς ἐπίσημοι κριοί, σφαγιασθέντες ἀπηνῶς, Ἱεράρχες εὐκλεεῖς, θυσία ζῶσα τῷ Θεῷ, χερσὶ τυράννων προσήχθητε ἐν ἐσχάτοις, καὶ τὴν τῶν Κρητῶν, ἐφοινίξατε, νῆσον τοῖς ὑμῶν, θείοις αἵμασι, καὶ ἐν αὐτοῖς ὀφρὺν τὴν ἐπηρμένην, τῶν δυσμενῶν ἐβυθίσατε· Διὸ ὑψόθεν, ἀθανασίας, ἐκομίσασθε στέφη.

Δόξα Πατρί. Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε ῥάβδος μυστική, ἄνθος βλαστήσασα Χριστόν· χαῖρε κρήνη νοητή, ὕδωρ ἐκβλύσασα ζωῆς· χαῖρε ἡ πύλη Παρθένε τῆς σωτηρίας· χαῖρε τοῦ Θεοῦ, θρόνος ἔμψυχος· χαῖρε τοῦ φωτός, ἅρμα πύρινον· χαῖρε Μαρία κεχαριτωμένη, Δημιουργοῦ ἡ λοχεύτρια· ἀεὶ δυσώπει, ὑπὲρ τῶν πίστει, εὐφημούντων σὸν τόκον.

Εἶτα, οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον, ζήτει τῇ ι΄ Φεβρουαρίου.

Ὁ Ν΄. Δόξα Πατρί. Ταῖς τῶν Ἀθλοφόρων... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Τὴν δεδοξασμένην χορείαν τῶν νεομαρτύρων Ἱεραρχῶν, καὶ τῶν σὺν αὐτοῖς Ἱερέων Μοναχῶν καὶ Προκρίτων, δεῦτε πάντες οἱ πιστοὶ ὑμνήσωμεν λέγοντες· χαίρετε τὴν γῆν τῆς Κρήτης πορφυρώσαντες, τοῖς αἵμασι ὑμῶν, τῆς δὲ ἐλευθερίας τὸ δένδρον ποτίσαντες, καὶ τοῦ βαρυαλγοῦντος λαοῦ τὸν ζυγὸν ἐξ ὤμων, κραταιῶς ἀποσείσαντες. Ἀλλ᾽ ὡς ἀθλητικοῖς διαδήμασι καταστεφθέντες, παρὰ τοῦ ἀθλοθέτου Χριστοῦ, καὶ χαρᾶς ἀλλήκτου ἀπολαύοντες, πρεσβεύετε ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα, ὁ Κανὼν τῆς Θεοτόκου καὶ οἱ Κανόνες τῶν Νεομαρτύρων. Κανὼν πρῶτος τῶν Νεομαρτύρων, οὗ ἡ Ἀκροστιχίς· «Μαρτύρων μέλπω νεάθλων δῆμον. Κυρίλ(λ)ου».

Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Μαρτύρων, θεοστεφῶν τὴν φάλαγγα, λαμπρῶς τιμήσωμεν, τοὺς ἐν τῇ Κρήτῃ λάμψαντας πυρ-

www.tezaurliturgic.ro



σούς, καὶ αὐγάζοντας θείαις αὐγαῖς, τὰ τῶν πιστῶν πληρώματα, αὐτῶν τὴν χάριν ἐξαιτούμενοι.

Ἀρτίως, ἡ Παρακλήτου δύναμις, ὑμᾶς συνήθροισε, μαρτυρικὴν στεῤῥὰν παρεμβολήν, καταισχύνουσαν πλάνην ἐχθρῶν, καὶ τῶν Κρητῶν λαμπρύνουσαν, τῆς Ἐκκλησίας τὴν εὐπρέπειαν.

Ῥωσθέντες, ὦ Ἀθληταὶ ἐν χάριτι, δυνάμει πίστεως, καρτερικῶς ἐδέξασθε σφαγήν, ὥσπερ ἄμωμοι ἄρνες Χριστοῦ, καὶ μάνδρας ἠξιώθητε, τῆς τῶν Μαρτύρων ἀγαλλόμενοι.

Θεοτοκίον.

Τοῖς ἄνω, ὑπερφυῶς συνάψασα, τὰ κάτω Δέσποινα, δίχα σπορᾶς κυήσασα Χριστόν, τὸν Σωτῆρα ἡμῶν καὶ Θεόν, εὐεργεσίας πρόξενος, βροτῶν τῷ γένει ἐχρημάτισας.

Κανὼν δεύτερος τῶν Νεομαρτύρων, οὗ ἡ Ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις· «Κυρίλλου».

Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Νεομαρτύρων τὴν λαμπρὰν ὁμήγυριν, ἀνευφημοῦντες πιστῶς, τῷ Κυρίῳ δόξαν, δῶμεν ἀγαλλόμενοι, ὅτι αὐτοὺς ἀνέδειξεν, ἐν ἐσχάτοις φωστῆρας, τῆς Ἐκκλησίας καὶ φύλακας, καὶ τῶν εὐσεβῶν καλλωπίσματα.

Ἡ τῶν Μαρτύρων εὐκλεὴς παράταξις, ὑμᾶς προσθήκην λαμπράν, ἐδέξατο, θεῖοι, τοῦ Κυρίου Νέαθλοι· ἐσχάτως γὰρ ἠθλήσατε, καρτερῶς ἐν τῇ Κρήτῃ, καὶ ἀνδρικῶς ἐτροπώσασθε, τὴν τυραννικὴν ματαιότητα.

Τῇ παντευχίᾳ τοῦ Θεοῦ τῆς χάριτος, καὶ τοῦ ἐνδόξου Μηνᾶ, τῶν εὐχῶν δυνάμει, τοῖς ἐχθροῖς πανάλκιμοι, ἐδείχθητε πανεύφημοι, καὶ Μαρτύρων τὸν δρόμον, ὡς ἀδελφὰ συμφρονήσαντες, γνώμῃ ἀῤῥαγεῖ διηνύσατε.

Θεοτοκίον.

Καταιγιζόμενος μεγίστοις πάθεσι, ἐξ ἀμελείας πολλῆς, πρὸς σὲ καταφεύγω, Θεοτόκε Δέσποινα, γαλήνην ἐξαιτούμενος, καὶ τελείαν εἰρήνην· μὴ οὖν παρίδῃς με Ἄχραντε, πλούτῳ οἰκτιρμῶν τῆς σῆς χάριτος.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Κανὼν πρῶτος. Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.

Ὑπέρφωτοι τῶν Κρητῶν, τῇ Ἐκκλησίᾳ ὦ κλεινοὶ Νέαθλοι, ὡς ἀστραπαὶ λάμψαντες, νύκτα τῆς δουλείας ἐλύσατε.

Ῥημάτων θείων Χριστοῦ, ἐνωτισθέντες Ἀθληταὶ ἔνδοξοι, μαρτυρικὴν ἔνστασιν, ζήλῳ ἱερῷ ἐπεδείξασθε.

Ὠράθης σὺ τῶν Κρητῶν, πάτερ Γεράσιμε ποιμὴν κάλλιστος, ταῖς ἀρεταῖς πρότερον, εἶτα δὲ Μαρτύρων ἐν αἵματι.

Θεοτοκίον.

Ναμάτων ζωοποιῶν, σῆς εὐσπλαγχνίας ὦ Ἁγνὴ πλῆσόν με, ἵνα ὑμνῶ πάντοτε, ὡς ὑπερφυῆ σε προστάτιν μου.

Κανὼν δεύτερος. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ἱερωσύνης τὴν στολήν, ταῖς τῶν αἱμάτων ἀρδείαις, οἱ τῆς Κρήτης τοῦ ποιμνίου ποιμένες, πορφυρώσαντες φαιδρῶς, ἐστολισμένοι ἤρθητε, πρὸς οὐρανῶν τὴν δόξαν, ἔνθα τὰ γέρα ἐδέξασθε.

Ὡς φιλοπρόβατος ποιμήν, τῆς τῶν Κρητῶν Ἐκκλησίας, τοῦ ποιμνίου σου ἐν χρόνοις παρέστης, τῆς κακώσεως καλῶς, καὶ ἀνδρικῶς ἐνήθλησας, ὑπὲρ αὐτοῦ ἐν γήρᾳ, πάτερ Γεράσιμε πίονι.

Σὺν Νεοφύτῳ τῆς Κνωσοῦ, ὁ Ἱερόθεος Λάμπης, Ζαχαρίας ὁ ποιμὴν τῆς Σητείας, Διοπόλεως ὁμοῦ, ὁ θαυμαστὸς Καλλίνικος, ὑμνείσθωσαν εὐφήμως, ὡς Ἱεράρχαι καὶ Μάρτυρες.

Θεοτοκίον.

Ὑπὲρ ἡμῶν ὡς ἀγαθή, ἱκέτευε τὸν Σωτῆρα, τὸν ἐκ σπλάγχνων σου φρικτῶς σαρκωθέντα, Θεοτόκε Μαριάμ, ἵνα ῥυσθῶμεν θλίψεων, καὶ πάσης ἐπηρείας, τοῦ σκολιοῦ πολεμήτορος.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὑπόδειγμα Μηνᾶν, τὸν μυρίαθλον σχόντες, αὐτοῦ ἐν τῷ ναῷ, μαρτυρίου τὸν δρόμον, στεῤῥῶς ἐτελέσατε, ἐν ἡμέραις τῆς θλίψεως, καὶ ηὐλίσθητε, ἐν ταῖς σκηναῖς τῶν Μαρτύρων, ἱκετεύοντες, ὑπὲρ λαοῦ τοῦ τῆς Κρήτης, ἀεὶ Νεομάρτυρες.

Δόξα Πατρί. Ὅμοιον.

Τὰ σώματα ὑμῶν, τῷ Κυρίῳ θυσίαν, ἐδώκατε ἐχθρῶν, ἀλλοπίστων μανίᾳ, ὡς ἄρνες δεξάμενοι, ἐν ἐσχάτοις τὸν θάνατον, καὶ γεγόνατε, ἐλευθερίας τοῦ Γένους, Νεομάρτυρες, ἐγγυηταί· διὸ πάν-

www.tezaurliturgic.ro



τες, ὑμᾶς μακαρίζομεν.

Καὶ νῦν. Θεοτοκίον.

Χορός τῶν Προφητῶν, ἱερῶς ἐν συμβόλοις, προέγραψεν Ἁγνή, ῥάβδον στάμνον σε πύλην, λυχνίαν κατάχρυσον, κιβωτόν τε καὶ τράπεζαν· ὧν τὴν ἔκβασιν, νῦν οἱ πιστοὶ καθορῶντες, Θεοτόκον σε, ὁμολογοῦμεν κυρίως, καὶ πίστει δοξάζομεν.

Κανὼν πρῶτος. Ὠδὴ δ´. Τὴν ἀνεξιχνίαστον.

Μάρτυρες ἐδείχθητε πανευκλεεῖς, πίστει ἐν τῇ Κρήτῃ ἀθλήσαντες, ἐν τῆς δουλείας, τῶν τῆς Ἄγαρ τῷ καιρῷ, Ἀρχιερεῖς θεόκριτοι, σὺν τοῖς ἐπιλοίποις συμμάρτυσιν.

Ἔχαιρες μακάριε Μελχισεδέκ, ὑπὸ τῶν ἐχθρῶν λοιδορούμενος, καὶ τῶν βασάνων, μὴ καμφθεὶς ταῖς προσβολαῖς, τὸν δι᾽ ἀγχόνης θάνατον, ὑπὲρ τοῦ ποιμνίου ὑπήνεγκας.

Λάμψας προτερήμασι βίου σεμνοῦ, βλάστημα Βεροίας Καλλίνικε, ἐν Διακόνοις, ἀνεδείχθης ἀθλητής, ἀγχόνῃ τὸ μακάριον, τέλος ἐν Χανίοις δεξάμενος.

Θεοτοκίον.

Πύλην προεώρα σε θείου φωτός, Ἰεζεκιὴλ ὁ θαυμάσιος, δι᾽ ἧς διῆλθε, τοῦ παντὸς ὁ Ποιητής, ἐάσας κεκλεισμένην σε, κόρη Θεοτόκε ἀπείρανδρε.

Κανὼν δεύτερος. Σύ μου ἰσχύς.

Ὑπὲρ Χριστοῦ, ὡς νουνεχεῖς προελόμενοι, κέρδος μέγα, τὴν σφαγὴν μακάριοι, ἐν τῷ ναῷ τοῦ θαυματουργοῦ, Μηνᾶ ὥσπερ ἄρνες, χερσὶ ἀνόμων ἐτύθητε· διὸ δικαιοσύνης, ἐδρέψασθε τὴν χάριν, δι᾽ ἀμφοῖν εὐκλεῶς ἀριστεύσαντες.

Τοῦ Φαραώ, τοῦ νοητοῦ κετεπόντισας, ἀναβάτας, τοὺς τριστάτας ἔνδοξε, ἐν τῶν αἱμάτων σου τῷ βυθῷ, καὶ διῆλθες σῷος, πρὸς γῆν τῆς θείας ἀνέσεως· διὸ Ἰωακεὶμ σε, Χεῤῥονήσου λαμπρότης, εἰς αἰῶνας πιστῶς μακαρίζομεν.

Χαριτωθεὶς, τοῦ μαρτυρίου τῇ χάριτι, Λογοθέτα, Ἰωάννη ἔνδοξε, σὺν τοῖς συμμάρτυσιν εὐκλεῶς, τοῖς τριακοσίοις, πρὸς οὐρανοὺς ἐξεδήμησας, μεθ᾽ ὧν ἀεὶ προσφέρων, ἱκεσίας μὴ παύσῃ, ὑπὲρ πάντων πιστῶν χαριτώνυμε.

Θεοτοκίον.

Ῥῦσαι ἡμᾶς, ἀπὸ κινδύνων καὶ θλίψεων, νοσημάτων, καὶ δεινῶν κακώσεων, τῆς τρικυμίας τῶν πειρασμῶν, καὶ τοῦ παλαμναίου, τῆς μοχθηρίας Μητράνανδρε· τὸ δύνασθαι γὰρ ἔχεις, ὑπὲρ φύσιν τεκοῦσα, τὸν Δεσπότην Παρθένε τῆς κτίσεως.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Κανὼν πρῶτος. Ὠδὴ ε´. Σὺ Κύριε μου φῶς.

Ὡράθητε ἐχθρῶν, καθαιρέται πανεύφημοι, ἐν ἔτεσι τῆς δουλείας, μαρτυρίου ἀγῶσιν, ἐν Κρήτῃ διαπρέψαντες.

Νικήσας ἀνδρικῶς, Κυδωνίας Καλλίνικε, τὸν ὄφιν τῇ σῇ ἀθλήσει, φερωνύμως ἐδέξω, τῆς νίκης τὸ διάδημα.

Ἐνέωσας ψυχήν, μαρτυρίῳ Γεράσιμε, καὶ θείαν καρποφορίαν, ἀθανάτου εὐκλείας, σεπτῶς ἐκαρποφόρησας.

Θεοτοκίον.

Ἀνύμφευτε ἁγνή, Θεοτόκε πανάχραντε, σὲ ἄγκυραν καὶ ἐλπίδα, οἱ πιστοὶ κεκτημένοι, ἐν θλίψεσι σῳζόμεθα.

Κανὼν δεύτερος. Φώτισον ἡμᾶς.

Πύργοι ἀῤῥαγεῖς, καὶ προπύργια τῆς πίστεως, Νεομάρτυρες ἐδείχθητε σαφῶς, τῶν τυράννων τὴν ὀφρὺν καταπατήσαντες.

Χαίρων τῆς εἱρκτῆς, τὰς κακώσεις καθυπέμεινας, προσδεχόμενος ζωῆς τὸν πλατυσμόν, τῆς Ῥεθύμνης ὁ ποιμὴν πάτερ Γεράσιμε.

Δέκα καὶ ἑπτά, ὦ Πρεσβύτεροι ὑπάρχοντες, μυριάδας πολεμίων νοητῶν, μαρτυρίου ἐν τοῖς ἄθλοις ἐτροπώσασθε.

Θεοτοκίον.

Ἵλεων ἡμῖν, τὸν ἐκ σπλάγχνων σου ἀπέργασαι, ὅτι ἅπαντές ἐσμεν ἁμαρτωλοί, δι᾽ ἀμέλειαν Παρθένε θεονύμφευτε.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Κανὼν πρῶτος. Ὠδὴ στ´. Θύσω σοι μετὰ φωνῆς.

Θύματα, καὶ προσφοραὶ Χριστῷ προσηνέχθητε, ἀναιρεθέντες ἐν Κρήτῃ, Ἀθλοφόροι νέοι ποικιλοτρόπως· διὰ τοῦτο, ἐν ταῖς σκηναῖς ζωῆς εἰσφ-

www.tezaurliturgic.ro



κίσθητε.

Λάμψεσι, τοῦ θεϊκοῦ φωτὸς φωτιζόμενος, ὥσπερ φωτὸς κατοικίαν, τὴν εἱρκτὴν ἡγήσω τὴν βορβορώδη, καὶ ἐν ταύτῃ, πρὸς τὴν ζωὴν μετέστης Γεράσιμε.

Ὤκιμον, Ἰωακεὶμ Φουρνῆς τὸ ἀπάνθισμα, ποιμὴν ὁ θεῖος τῆς Πέτρας, ἀνεδείχθης αἵματος μαρτυρίου, ταῖς ἀρδείαις, καταρδευθεὶς ψυχῆς σου τὴν ἄρουραν.

Θεοτοκίον.

Νόσων με, ἐξ ἀλγεινῶν καὶ πόνων θεράπευσον, τῆς χάριτός σου φαρμάκῳ, Θεοτόκε κόρη εὐλογημένη, ἵνα κράζω· χαῖρε Θεοῦ ἡ Μήτηρ ἡ ἄφθορος.

Κανὼν δεύτερος. Ἱλάσθητί μοι Σωτήρ.

Γεώργια ἀληθῶς, τῆς εὐσεβείας Γεώργιος, σὺν τοῖς οἰκείοις αὐτοῦ, πεφήνασι ἔμψυχα· τυράννων γὰρ σύμπαντες, φονικῇ μαχαίρᾳ, ἀπηνῶς ἐσφαγιάσθησαν.

Ἀγχόνῃ αἰωρηθείς, Μελχισεδὲκ ὁ γεράσμιος, ἡ τῆς Κισάμου λαμπάς, ἐχθροῦ ἀπηγχόνισε, βουλὴν τὴν πανώλεθρον, καὶ πρὸς ἀφθαρσίας, ἀνυψώθη τὴν λαμπρότητα.

Ἀζύγων νῦν ἡ πλειάς, ἀνευφημείσθω ἐν ᾄσμασιν, ὅτι Μαρτύρων ὁδόν, στεῤῥῶς ἐπορεύθησαν, καὶ θήρας ἀφήρπασαν, τῶν πικρῶν τυράννων, τὸν λαὸν τὸν χριστεπώνυμον.

Θεοτοκίον.

Λαοί σε γλῶσσαι φυλαί, ἀνθρώπων πᾶσαι δοξάζουσι, ὅτι ἀφράστως Χριστόν, τὸν Κύριον τέτοκας, καὶ ἔσωσας ἅπαντας, τῆς τοῦ βροτοκτόνου, τυραννίδος Μητροπάρθενε.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον. Ἦχος α΄. Τὸν τάφον σου.

Ὡς φίλους τοῦ Χριστοῦ, καὶ θεράποντας θείους, γεραίρομεν ὑμᾶς, τοὺς ἐν χρόνοις δουλείας, ἀστέρας ἐκλάμψαντας, παμφαεῖς Νεομάρτυρας· Ἐπισκόπων γάρ, καὶ Ἱερέων τὰ πλήθη, σὺν Ἀζύγοις τε, ταῖς ἀλκιφρόνων πορείαις, φωτίζετε ἔκτοτε.

Ἕτερον. Ἦχος πλ. δ΄. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Τοὺς εὐκλεεῖς συμμάρτυρας, ὡς προσφοράν σοι Κύριε, ἡ τῶν Κρητῶν κληρουχία προσήνεγκεν, ἐν τοῖς ἐσχάτοις ἔτεσιν. Ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ βαθείᾳ, τὴν Ἐκκλησίαν σου, διὰ τῆς Θεοτόκου, συντήρησον Πολυέλεε.

Ὁ Οἶκος.

Ἐνισχύσας δυνάμει τῆς χάριτος, τοὺς ἐν Κρήτῃ σεπτοὺς Νεομάρτυρας, τῶν Μαρτύρων αὐτούς τε τῶν πρόπαλαι, εὐκλεεῖς ὁμοτρόπους ἀνέδειξας, καὶ ἐταπείνωσας τὴν ἔπαρσιν δι᾽ αὐτῶν τῶν τυράννων, Σωτήρ μου ζωοδότα. Ταῖς αὐτῶν οὖν πρεσβείαις, ἐν εἰρήνῃ τελείᾳ, τὴν Ἐκκλησίαν σου, διὰ τῆς Θεοτόκου, συντήρησον Πολυέλεε.

Μηνολόγιον.

Τῇ ΚΓ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῶν ἁγίων ἐνδόξων νέων ἱερομαρτύρων, Γερασίμου Κρήτης, Κνωσοῦ Νεοφύτου, Χεῤῥονήσου Ἰωακείμ, Λάμπης Ἱεροθέου, Σητείας Ζαχαρίου, Πέτρας Ἰωακείμ, Ῥεθύμνης Γερασίμου, Κυδωνίας Καλλινίκου, Κισάμου Μελχισεδέκ, Διοπόλεως Καλλινίκου καὶ τῶν σὺν αὐτοῖς ἀθλησάντων κληρικῶν καὶ λαϊκῶν ἐν ἔτεσιν ,αωκα΄ καὶ ,αωκβ΄.

Στίχοι.

Ποιμένες δέκα ἀθλήσαντες ἀρτίως
Ἐχθροῦ καθεῖλον ὑψαύχενον κακίαν
Σὺν τούτοις δέ γε Ἱερεῖς τε καὶ ἄλλοι
Βασιλείας ἔτυχον τῆς αἰωνίου.

Εἰκάδι ἐν τριτάτῃ Ἱεροάθλων τιμάσθω παρεμβολή.

Συναξάριον.

Ἀεὶ μέν, καὶ ἐν πᾶσιν ὀφείλομεν, ἀδελφοί, ἐξυμνεῖν καὶ θαυμάζειν τῆς περὶ ἡμᾶς φιλανθρώπου προνοίας τὰ ἀνεξιχνίαστα κρίματα, οὐχ ἧττον δέ, καὶ ἐν τῇ πολυχρονίῳ ταύτῃ τοῦ ἡμετέρου, τῇ τῶν Ὀθωμανῶν δηλονότι αἰχμαλωσίᾳ. Αὕτη καὶ γάρ, πλείστων τε ἄλλων κατὰ ψυχὴν ἀγαθῶν ἡμῖν τοῖς τυραννουμένοις παραίτιος γέγονε, καὶ ἐξαιρέτως, δι᾽ αὐτῆς καὶ ἐξ αὐτῆς ὁ εὐκλεὴς οὗτος, καὶ Χριστῷ πεφιλημένος, καὶ τῆς οὐρανίου ἀποθήκης ἄξιος καρπὸς ἐβλάστησεν, οἱ νεοφανεῖς, λέγω, Μάρτυρες, οἱ νῦν εἰς εὐφημίαν προκείμενοι, ὡς ὁ τῶν Νεομαρτύρων ὑμνητὴς καὶ θεράπων Νικόδημος ὁ Ἁγιορείτης ἀποφαίνεται. Τούτοις δὲ καταλέγονται οὐχὶ μόνον ἰδιῶται ἀλλὰ καὶ κληρικοὶ παντὸς βαθμοῦ, ἰδίαν παράταξιν τὴν τῶν εὐκλεῶν Ἱερομαρτύρων ἀποτελοῦντες, ἀρχίχοροι δὲ τούτων οἱ τὴν ἀδιάσπαστον τῆς ἀποστολικῆς διαδοχῆς ἅλυσον προάγοντες, τουτέ-

www.tezaurliturgic.ro



στιν οἱ Ἐπίσκοποι.

Οὗτοι, ἐν καιροῖς δυσχειμέροις, διά τε τὴν Ἐκκλησίαν καὶ τὸ Γένος ἡμῶν, τοὺς ὀρθοδόξους Χριστιανοὺς εἰς τὴν πίστιν διετήρησαν· διὸ καὶ ὑπὸ τῶν ἀλλοθρήσκων τυράννων στόχοι ἐγένοντο πολλῶν ἐπιθέσεων καὶ ἄχρι θανάτου ἐταστικῶν κολάσεων, παντοίων τε κακώσεων καὶ μαρτυρίων ἔτυχον.

Ὅτε δὲ ἐν τῇ μεγαλονήσῳ ἡμῶν, οἱ ἡρωϊκοὶ Κρῆτες, ἐν ὀνόματι τῆς Τρισυποστάτου Θεότητος, πλήρεις ὑψηλοῦ καὶ γενναίου τῆς ἐλευθερίας φρονήματος τὰ ὅπλα ἔλαβον ἐν ἔτει ͵αωκα΄ (1821) κατὰ τῆς ὀθωμανικῆς τυραννίας, τότε ὁ ἐχθρὸς μετὰ βρυχηθμοῦ ὡς λέων ὠρυόμενος, ἐξυπνήσας, ἀνηλεῶς ἐπέπεσε σπαράττων τοὺς Χριστιανούς, ἐκ τῶν πρώτων δὲ τοὺς Ἐπισκόπους, τοὺς Ἱερεῖς, τοὺς Μοναχούς, ὡς πρωταιτίους, τὰς δὲ Μονὰς ἐδῄουν καὶ ἐδενδροτόμουν οἰκτρῶς. Τότε τὸν ἀοίδιμον Μελχισεδὲκ τὸν Κισάμου Ἀρχιερέα μετὰ πικροτάτας κολάσεις ἀπηγχόνισαν, ἀφοῦ πρῶτον τὸν περιτριγύρισαν εἰς τὰ σοκάκια τῆς πόλεως γυμνόν, τίλλοντες καὶ ἀνασπῶντες τὰς τρίχας τῶν γενείων του, κτυπῶντές τον κατὰ κεφαλῆς, τέλος κρεμάσαντες, ἐξώρυξαν καὶ τοὺς ὀφθαλμούς του, μεληδὸν κατακόψαντες τὸ μακάριον ἐκεῖνο σῶμά του, καίτοι νεκρόν. Τὰ ἴδια ταῦτα κατεπράξαντο καὶ εἰς τὸν Διάκονόν του Καλλίνικον τὸν ἐκ Βεροίας τὸν παρὰ τῆς τῶν Φιλικῶν Ἑταιρείας ἀποσταλέντα εἰς Κρήτην ὡς διδάσκαλον.

Συνέλαβον ὡσαύτως καὶ μετέφερον ἀνυπόδητον εἰς τὴν φυλακὴν τὸν Ἐπίσκοπον Κυδωνίας Καλλίνικον ὅστις μετὰ ἀνυποίστων βασάνων, ἃς καρτερῶς διὰ τὴν πίστιν τοῦ Χριστοῦ ὑπέμεινε, παρέδωκε τὴν ψυχήν του εἰς τὸν Κύριον. Εἰς τὸ Ῥέθυμνον συνέλαβαν καὶ ἐφυλάκισαν τὸν Ἐπίσκοπον Ῥεθύμνης Γεράσιμον εἰς ἕνα καταφρονεμένον ὀσπίτιον τόσον δυσῶδες, ὕστερον δὲ κατόπιν πολλῶν βασάνων ἀπηγχόνισαν.

Ἀλλ' ἡ μεγαλυτέρα σφαγή, ἡ ἐν Κρήτῃ κατὰ τοὺς δυσχειμέρους χρόνους τῆς δουλείας διαπραχθεῖσα, γνωστὴ ὡς ὁ μεγάλος ἀρμπεντές, ἔλαβε χώραν εἰς τὸ Μεγάλον Κάστρον (νῦν δὲ Ἡράκλειον καλούμενον). Τῇ 23η Ἰουνίου ͵αωκα΄ (1821) ἐγένετο Σύνοδος εἰς τὴν τῆς Κρήτης Μητρόπολιν, ἐν τῷ ναῷ τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Μηνᾶ, παροτρυνθέντων καὶ τῶν Ἀρχιερέων καὶ Ἱερέων καί τινων Χριστιανῶν καὶ ὁ ἅγιος Κρήτης ἤρχισε νὰ ἀναγινώσκῃ ἓν πουγιουρτού, ἀπεσταλμένον παρὰ τοῦ Βεζίρη. Οἱ ἐχθροὶ καιροφυλακτοῦντες, ὥρμησαν ἐξαίφνης εἰς τὸν ναόν, καί, ἀποκλείσαντες τὰς θύρας τῆς αὐλῆς, εἰσέβησαν εἰς αὐτὸν μετ' ἀλαλαγμοῦ καὶ ἐγείραντες τὰ ὅπλα αὐτῶν φονεύουσι πρῶτον τὸν εὐλογημένον γέροντα ἅγιον Κρήτης Γεράσιμον, χωρὶς νὰ εὐλαβηθῶσιν οἱ ἀλιτήριοι τὸ σεβάσμιον γῆράς του. Μετὰ ἐκεῖνον ἐφόνευσαν καὶ τὸν ἅγιον Κνωσοῦ Νεόφυτον, τὸν Χεῤῥονήσου Ἰωακείμ, τὸν Σητείας Ζαχαρίαν καὶ τὸν Διοπόλεως Καλλίνικον, δέκα καὶ ἑπτὰ Ἱερεῖς καὶ πέντε ἁγιορείτας πατέρας ἐκ τῆς Ἱερᾶς Μονῆς Βατοπεδίου, προσκομίσαντας εἰς τὸ Μέγα Κάστρον πρὸς προσκύνησιν κατὰ τῆς ἐπιδημίας τῆς πανώλους τίμια λείψανα καὶ τὴν ἁγίαν Ζώνην τῆς Ὑπεραγίας Θεοτόκου. Ἐπίσης ἐφόνευσαν ὡς τριακοσίους παρευρεθέντας Χριστιανούς, ἐν οἷς ἔτυχε καὶ ὁ ἐν ἰατροῖς τὰ πρῶτα φέρων Ἰωάννης Λευθεραῖος, ὁ καὶ Λογοθέτης τῆς Ἐκκλησίας Κρήτης. Ἐκεῖθεν εἶτα διασπαρέντες εἰς τὴν πόλιν ἐδίωκον τοὺς λοιποὺς Χριστιανοὺς φονεύοντες ἀνηλεῶς ὅσους ἀπήντων εἰς τοὺς δρόμους, ὅπου ὑπήντησαν καὶ τὸν Ἐπίσκοπον Λάμπης Ἱερόθεον, καί, φονεύσαντες αὐτὸν μετὰ τοῦ Διακόνου του, ὥρμησαν καὶ εἰς τὸ ὀσπίτιον τοῦ Γεωργίου Παυλάκη, φονεύσαντες αὐτὸν καὶ ἄλλους ὀκτὼ τοῦ ὀσπιτίου του. Τὴν ἑπομένην εἰς τὸ χωρίον Ἐπάνω Φουρνή, ἔνθα ἡ ἕδρα τῆς Ἐπισκοπῆς Πέτρας, ἐτυφεκίσθη ὁ αὐτῆς Ἀρχιερεὺς Ἰωακεὶμ ἔξωθεν τοῦ ἱεροῦ ναοῦ τῆς Ὑπεραγίας Θεοτόκου.

Ταῖς αὐτῶν πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Δοκιμασθέντες, τυραννικῇ μανίᾳ καρτερικῶς, δόκιμον χρυσίον ὄντως, τῇ τοῦ Χριστοῦ, Ἐκκλησίᾳ ἀνεδείχθητε, ὦ Νεομάρτυρες, τὸ τῶν πιστῶν πλουτίζοντες σύστημα.

Ἠγλαϊσμένος, ἱερωσύνης θείᾳ περιβολῇ, καὶ τοῦ μαρτυρίου χλαίνῃ, τῇ φωταυγεῖ, τῆς Κνωσοῦ ποιμὴν Νεόφυτε, ἐν τῇ Ἐδὲμ Χριστῷ, τῷ βασιλεῖ τῆς δόξης παρίστασαι.

Μαρτύρων κλέος, ὁ Χεῤῥονήσου ὤφθη Ἰωακείμ, ζήλῳ εὐσεβείας θείῳ, σφαγιασθείς, ἐν ναῷ Μηνᾶ τοῦ μάρτυρος, μεθ' οὗ Χριστῷ θερμῶς, ὑπὲρ ἡμῶν πρεσβεύει ἑκάστοτε.

Θεοτοκίον.

Ὀλβίῳ τόκῳ, τὴν σωτηρίας πύλην Μῆτερ ἁγνή, ἤνοιξας ἀνθρώπων γένει, ὡς ἀγαθή· διὰ τοῦτό σοι κραυγάζομεν· χαῖρε Θεόνυμφε, εὐλογημένη ἄχραντε Δέσποινα.

Κανὼν δεύτερος. Παῖδες Ἑβραίων.

Κρήτη γεραίρει ἐγκωμίοις, Νεομάρτυρες ὑμῶν τὰς ἀριστείας, καὶ δοξάζει Χριστόν, τὸν Κύριον τῆς δόξης, τὸν δι' ἡμῶν παρέχοντα, τοῖς πιστοῖς χαρίτων δόσεις.

Πρῶτον καλῶς τῇ προαιρέσει, ἐναθλήσαντες τῷ πόθῳ τοῦ Κυρίου, εἶτα ζέσει ψυχῆς, ὡς Μοναχοὶ γεννάδες, ἠθλήσατε δι' αἵματος, ἁγιάζοντες τὴν Κρήτην.

www.tezaurliturgic.ro



Κλέα Μονῆς Βατοπεδίου, οἱ πεντάριθμοι ὑπάρχετε Πατέρες, συναυλίας λαμπρᾶς, Μαρτύρων μετασχόντες, ὡς τοῦ Χριστοῦ τὸν θάνατον, μιμησάμενοι προθύμως.

Θεοτοκίον.

Ὕμνοις ἀεί σε εὐφημοῦμεν, Θεονύμφευτε Μαρία Θεοτόκε· διὰ σοῦ γὰρ Θεός, ἐπιφανεὶς ἐν κόσμῳ, τοῦ πτώματος ἀνέστησεν, τοῦ Ἀδὰμ τοὺς ἀπογόνους.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Κανὼν πρῶτος. Ὠδὴ η'. Λυτρωτὰ τοῦ παντός.

Νικηταὶ εὐκλεεῖς ἀνεδείχθητε, τῶν τυράννων τὸ θράσος πατήσαντες, καὶ τῷ ποιμνίῳ κρείττονα, ἐδωρήσασθε νίκην, θανατωθέντες, ὡς Χριστοῦ μιμηταὶ Ἀρχιποίμενος.

Καλλινίκως τὴν σὴν ἐπεσφράγισας, πολιτείαν φωστὴρ Διοπόλεως, Καλλίνικε μακάριε, τῷ Κυρίῳ ὁ θύτης, τερπνὴ θυσία, προσαχθεὶς δι' ἐνδόξου ἀθλήσεως.

Ὑμνῳδίαις πιστῶς εὐφημοῦμέν σε, Ζαχαρία Σητείας ἀγλάϊσμα, προθύμως ὅτι τέθηκας, τὴν ἁγίαν ψυχήν σου, ὑπὲρ τῆς ποίμνης, ὡς ποιμὴν ἀληθῶς φιλοπρόβατος.

Θεοτοκίον.

Ῥυπωθέντα πολλοῖς παραπτώμασι, κάθαρόν με Παρθένε ἀμόλυντε, σῆς χάριτος τῷ ὕδατι, ἵνα πίστει βοῶ σοι· χαῖρε Μῆτερ, τῆς ἀθλίας ψυχῆς μου διάσωσμα.

Κανὼν δεύτερος. Οἱ θεοῤῥήμονες Παῖδες.

Τοὺς εὐκλεεῖς Ἀθλοφόρους ἐν Ἱεράρχαις, τοὺς τῆς Κρητῶν Ἐκκλησίας, ἀναφανέντας προπύργια, εὐφημήσωμεν πάντες, Χριστὸν μεγαλύνοντες.

Ἰωακεὶμ Χεῤῥονήσου καλῶς προέστης, καὶ τῶν Μαρτύρων τῆς δόξης, περιφανῶς ἐκοινώνησας, μεθ' ὧν πᾶσιν ἐξαίτει, ἡμῖν θεῖον ἔλεος.

Τῶν Ἐπισκόπων χορείαν τὴν πανολβίαν, τῶν πάλαι δέκα Μαρτύρων, τοὺς ἰσαρίθμους τιμήσωμεν, ὡς αὐτοὺς νέους πρέσβεις, πλουτοῦντες πρὸς Κύριον.

Θεοτοκίον.

Οὐρανομήκης ἐδείχθης Παρθένε κλῖμαξ δι' ἧς κατέβη ὁ Λόγος, μετὰ σαρκὸς ὡς ηὐδόκησε, ἐκλυτρούμενος κόσμον, πικρᾶς παραβάσεως.

Καταβασία. Παῖδας εὐαγεῖς.

Κανὼν πρῶτος. Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

Ἴαμα ἐγένετο ὄντως, ὑμῶν τὸ αἷμα Ἀθλοφόροι, τοῖς χειμαζομένοις ἀθλίως, πικρᾶς δουλείας, ἐν ἀλγεινῇ κακώσει· διὸ ἐπαγαλλόμενοι, ὑμᾶς ἐν ὕμνοις μακαρίζομεν.

Λύσαντες ἀσέληνον νύκτα, Ἀγαρηνῶν τῆς κακουργίας, ὡς υἱοὶ φωτὸς καὶ ἡμέρας, ἀναδειχθέντες, τοῦ μαρτυρίου ἄθλοις, ἀεὶ Κρητῶν πυρσεύετε, τὴν κληρουχίαν Νεομάρτυρες.

Ὅπλον ἀπροσμάχητον σχόντες, πίστιν Χριστοῦ ὦ Ἀθλοφόροι, φοβεροὶ ἐχθροῖς τοῖς ἀπίστοις, τοῦ μαρτυρίου, τῇ συμπλοκῇ γενναίως, ἐδείχθητε καὶ ὤφθητε, τῶν εὐσεβῶν πύργοι νεόδμητοι.

Θεοτοκίον.

Ὕμνοις σε γεραίρομεν πίστει, τὴν ἀνωτέραν τῶν Ἀγγέλων, χαῖρε ἀσιγήτως βοῶντες, ἁγνὴ Παρθένε, τοῦ Θεοῦ Λόγου Μῆτερ· ἡμᾶς οὖν πάντας λύτρωσαι, ἐκ πάσης θλίψεως ὡς εὔσπλαγχνος.

Κανὼν δεύτερος. Ἐξέστη ἐπὶ τούτῳ.

Ποιμένες ἐκλογάδος τῆς μυστικῆς, τῆς λαμπρᾶς Κρητονήσου ὑπάρχοντες, τῇ φυλακῇ, θείας ποιμασίας ὡς ἀληθῶς, τὴν ποίμνην ἐφυλάξατε, ἐκ τῆς κακουργίας τῶν ἀσεβῶν, καὶ χαίροντες θανάτου, ἐγεύσασθε πολύτλαι, ὑπὲρ αὐτῆς ἀγωνιζόμενοι.

Γεράσιμον τὸν Κρήτης οἱ εὐσεβεῖς, σὺν αὐτοῦ τοῖς ἐνδόξοις συμμάρτυσι, τοὺς ἐν ναῷ, τοῦ μεγαλομάρτυρος τοῦ Χριστοῦ, Μηνᾶ στεῤῥῶς ἀθλήσαντας, στέψωμεν στεφάνοις ὑμνῳδιῶν, αἰτούμενοι ἐν πίστει, αὐτῶν τὴν προστασίαν, ἐν ταῖς τοῦ βίου περιστάσεσι.

Πρεσβεύετε ἀπαύστως τῷ Λυτρωτῇ, τῷ ὑμᾶς ἀναδείξαντι Μάρτυρας, ἐν τῷ καιρῷ, τῆς δεινῆς δουλείας τῶν ἀσεβῶν, ἵνα ῥυσθῶμεν θλίψεων, θεῖοι Νεομάρτυρες καὶ δεινῶν· φυλάττετε δὲ Κρήτην, ἀλώβητον ἐκ πάσης, ἐπιβουλῆς τε καὶ κακώσεως.

Θεοτοκίον.

Ὑπέραγνε Μαρία ἡ τοῦ Χριστοῦ, χρηματίσασα Μήτηρ ἀμόλυντος, σὺν τῷ Μηνᾷ, τῷ τῆς εὐσε-

www.tezaurliturgic.ro



θείας τρισαριστεῖ, καὶ τοῖς Νεάθλοις ἅπασι, Κρήτης τοῖς κλείσμασι τοῖς φαιδροῖς, ἱκέτευε ἀπαύστως, ἵνα εὕρωμεν χάριν, οἱ μεγαλύνοντες τὸν τόκον σου.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Μαρτυρικῇ λαμπόμενοι, Νεομάρτυρες αἴγλῃ, ἐν οὐρανοῖς παρίστασθε, τῷ Ἡλίῳ τῆς δόξης, ὥσπερ ἀστέρες μεγάλοι, τοῖς ἐν Κρήτῃ ἐκεῖθεν, τὴν ἔλλαμψιν ἐκχέοντες, δαδουχίας χαρίτων, τῶν μυστικῶν, τῆς ὑπὲρ κατάληψιν θείας δόξης· διὸ ὑμᾶς γεραίρομεν, οἱ πιστοὶ ἐγκωμίοις.

Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τῆς κληρουχίας τοῦ Τίτου, τοὺς ἀῤῥαγεῖς προασπιστάς, καὶ τῶν Μαρτύρων τῆς δόξης, συγκληρονόμους ἐν Ἐδέμ, τοὺς Νεομάρτυρας δεῦτε, ἀνευφημήσωμεν πάντες.

Θεοτοκίον.

Σὺν τῷ μεγάλῳ ἀπαύστως, Κυρίου μάρτυρι Μηνᾷ, καὶ τῇ ἁγνῇ Θεοτόκῳ, ὦ Νεομάρτυρες κλυτοί, ὑπὲρ τῆς ποίμνης ἐν Κρήτῃ, πρεσβεύετε τῷ Δεσπότῃ.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Νῦν ἡ Κρήτης ἀγάλλεται, Ἐκκλησία καὶ γάνυται, Ἱεράρχαι ἔνδοξοι νεομάρτυρες· τὴν γῆν αὐτῆς γὰρ φοινίξαντες, αἱμάτων τοῖς ῥεύμασιν, ἐδοξάσατε Χριστόν, ὡς ποιμένες πανσέβαστοι, καὶ τὸ φρόνημα, τοῦ λαοῦ ἐνισχύσατε ἐνθέως, τῶν ἐχθρῶν τοῦ ἀντιστῆναι, ταῖς πολλαπλαῖς ἐπιθέσεσι.

Ἱερέων ὑμνήσωμεν, θεοσύλλεκτον φάλαγγα, τῆς Τριάδος χάριτι χρηματίσασαν, ὑπερκοσμίων ἐλλάμψεων, σεπτὸν ἐνδιαίτημα, καὶ ἀγώνων εὐαγῶν, θαυμαστὸν καλλιέρημα, τοὺς ἀθλήσαντας, ἐν ἐσχάτοις τοῖς χρόνοις ὑπὲρ φύσιν, καὶ αἰσχύναντας ἀπίστων, τὸ ἐπαιρόμενον φρόνημα.

Μοναχοὶ οὐρανόφρονες, ἀρετὴν οἱ ἀσκούμενοι, ἐν πολέμῳ ὤφθησαν γενναιότατοι, καὶ τῶν βαρβάρων ὑπήνεγκαν, στεῤῥῶς τὴν ὠμότητα, καὶ ἐνήθλησαν καλῶς· διὸ ἅπαντες ἔτυχον, παρατάξεως, τῶν νεάθλων Κυρίου Ἀθλοφόρων, ὡς σοφὴ καθηγεσία, ἀγωνιστῶν τῶν τῆς πίστεως.

Μοναχαὶ ἀγγελόβιοι, ἐξασκοῦσαι πανόλβιον, βιοτὴν ἡσύχιον οὐρανόφρονα, νῦν σὺν ἡμῖν ἐπαγάλλονται, ὡς πίστει ἀράμεναι, μαρτυρίου τὸν σταυρόν· δι' αὐτοῦ γὰρ ἐγένοντο, παρατάξεως, τῶν μυρίοις παθήμασι Μαρτύρων, κοινωνοὶ πορφυροχρόων, ἐν τοῖς ἐσχάτοις τοῖς ἔτεσι.

Δόξα Πατρί. Ἦχος πλ. α΄.
Εὐαγγέλου Ἱερέως.

Εὐφραίνου ἐν Κυρίῳ, ἡ ἐν Κρήτῃ Ἐκκλησία, ὅτι χάριτι Κυρίου, γεωργοὺς καὶ ποιμένας ἀμφιδεξίους κατέχεις, θείων προσταγμάτων τὴν τρίβον ἀσφαλῶς τοὺς βαδίσαντας, καὶ τὸν μαρτυρίου δίαυλον, φρονήματι ἀνδρικῷ ἐκτελέσαντας, Ἱεραρχῶν τὴν δεκάριθμον φάλαγγα, Ἱερέων συλλόγους, Μοναχῶν συστάδας, Ὁσίων γυναικῶν χορείας, καὶ τιμίων προκρίτων, τὸν ἔνθουν σύλλογον. Οὗτός ἐστιν ὁ πανάριστος θίασος, τῶν ἐνδόξων Νεομαρτύρων, ἐν οἷς μεγαλυνομένη, Πνεύματος μεθέξει, βασιλείῳ πορφυρωθεῖσα στολῇ, τῷ Κυρίῳ βόησον· πολυέλεε Κύριε, πρεσβείαις τῶν εὐκλεῶν σου θεραπόντων, ἐν τῇ πέτρᾳ τῆς πίστεως στερέωσόν με, καὶ σῷζε τὸν λαόν μου, ὡς μόνος ἐν ἐλέει ἀνείκαστος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ ᾠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ ι΄ Φεβρουαρίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

www.tezaurliturgic.ro



Μεγαλυνάριον.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, Ἐπισκόπους θείους, Ἱερέας καὶ Μοναστάς, καὶ σὺν τούτοις πάντας, πιστούς τε ἰδιώτας, τοὺς ἐν ὑστέροις χρόνοις, πίστιν τρανώσαντας.

Ἕτερον.

Χαίροις Ἐπισκόπων νεοφαής, λαμπὰς μαρτυρίου, Ἱερέων πυρσοφαής, καὶ Ἀζύγων χαίροις, πανέντιμος χορεία, τὴν Κρήτην ἡ κοσμοῦσα, χρόαις τοῦ αἵματος.

Δίστιχον.

*Κύριλλος ἀνύμνησε σὺν Εὐαγγέλῳ*
*Φάλαγγα τὴν ἔνδοξον Νεομαρτύρων.*

## ΑΠΟΛΥΤΙΚΙΑ ΕΙΣ ΕΝΑ ΕΚΑΣΤΟΝ ΤΩΝ ΑΓΙΩΝ ΝΕΟΜΑΡΤΥΡΩΝ ΙΕΡΑΡΧΩΝ*

Ἁγίου Γερασίμου τοῦ Μητροπολίτου Κρήτης.
Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Τοῦ ἐν Κρήτῃ ποιμνίου, ἀνεδείχθης ὑπέρμαχος, ὡς χριστομιμήτῳ ἐμπρέψας, ποιμασίᾳ Γεράσιμε, καὶ ἤθλησας στεῤῥῶς ὑπὲρ αὐτοῦ, τὴν μῆνιν τῶν ἐχθρῶν καθυποστάς· διὰ τοῦτο θεῖα γέρα παρὰ Θεοῦ, ἀπέλαβες φερωνύμως. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ καταστέψαντι, δόξα τῷ μαρτυρίου σε αὐγαῖς, καταλαμπρύναντι.

Ἁγίου Νεοφύτου τοῦ Κνωσσοῦ Ἐπισκόπου.
Ἦχος γ'. Θείας πίστεως.

Θείας πίστεως, τῇ γεωργίᾳ, νέον ἤνθησας, ἐν τοῖς ἐσχάτοις, εὐσεβείας φυτὸν ὦ Νεόφυτε, καρποφορίαν καλὴν προβαλόμενος, τοῦ μαρτυρίου ἡμῖν τὴν εὐπρέπειαν. Ὅθεν πρέσβευε, Χριστῷ τῷ Θεῷ δωρήσασθαι, πταισμάτων ἱλασμὸν ἡμῖν καὶ ἔλεος.

Ἁγίου Ἰωακεὶμ τοῦ Χεῤῥονήσου Ἐπισκόπου.
Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Χριστῷ ἐφεπόμενος, τῇ καθαρᾷ σου ζωῇ, αὐτοῦ ἀναδέδειξαι, πανευκλεὴς μιμητής, Μαρτύρων ἐν αἵματι· σὺ γὰρ ἐχθρῶν μὴ πτήξας, τὸ μετέωρον θράσος, ἤθλησας Χεῤῥονήσου, τὸν λαὸν ἐφαγνίζων· διὸ Ἰωακεὶμ σε, ὕμνοις γεραίρομεν.

Ἁγίου Ἱεροθέου τοῦ Λάμπης Ἐπισκόπου.
Ἦχος γ'. Τὴν ὡραιότητα.

Καταλαμπόμενος, φωτὶ τῆς χάριτος, ὡς μέγας ἥλιος, τῷ μαρτυρίῳ σου, ἐν τῆς δουλείας τῷ καιρῷ, ἀνέτειλας ἐκ τῆς Λάμπης· σὺ γὰρ Ἱερόθεε, φερωνύμως ἐβίωσας, καὶ Χριστῷ πανίερον, προσενήνεξαι σφάγιον, χερσὶ τῶν ἀσεβῶν ὡς ἀρνίον, σφαγιασθεὶς ζωῆς τῷ πόθῳ.

Ἁγίου Ζαχαρία τοῦ Σητείας Ἐπισκόπου.
Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Ἱεράρχης ὑπάρχων θεοειδέστατος, ἱερωσύνης τὴν χλαῖναν, τοῖς τῶν αἱμάτων κρουνοῖς, ἐπορφύρωσας τυθεὶς ἀμνὸς ὡς ἄκακος, καὶ προσεχώρησας λαμπρῶς, πρὸς τὴν ἀνέσπερον ζωήν, ὑπὲρ ἡμῶν ἱκετεύων, Χριστὸν ἀεὶ Ζαχαρία, Σητείας κλέος ἀναφαίρετον.

Ἁγίου Ἰωακεὶμ τοῦ Πέτρας Ἐπισκόπου.
Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Ἐκ Φουρνῆς ἀνεφύης, ὥσπερ κρίνον πανεύοσμον, ὦ Ἰωακεὶμ Ἱεράρχα, Νεοάθλων τὸ καύχημα, καὶ πάντων κατευφραίνεις τὰς ψυχάς, ἀθλήσεως ἐνδόξου ταῖς ὀδμαῖς, ὁ ποιμάνας τὴν τῆς Πέτρας Ἐπισκοπήν, σοφίᾳ καὶ σωφροσύνῃ. Δόξα τῷ σὲ βραβεύσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐν ἐσχάτοις τοῖς καιροῖς, σὲ ἁγιάσαντι.

Μεγαλυνάριον.

Χαίροις ἡ τῆς Πέτρας πυρσοφαής, λαμπὰς μαρτυρίου, ἐξαστράπτουσα ἐκ Φουρνῆς, δι' ἧς κατευθύνεις, πιστῶν τὰς διανοίας, Ἰωακεὶμ παμμάκαρ, πρὸς ὅρμον ἄκλυστον.

Ἁγίου Γερασίμου τοῦ Ῥεθύμνης Ἐπισκόπου.
Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Ἐν Κυρίῳ ὑπάρχων, ἀρεταῖς σου ἐλεύθερος, χαίρων τῆς εἱρκτῆς τὰς κακώσεις, καθυπέστης Γεράσιμε, καὶ ἤθλησας ἀγχόνῃ καρτερῶς, Ῥεθύμνης

* Συνετάχθησαν ὑπὸ τοῦ Ἱερομονάχου Κυρίλλου Κογεράκη πλὴν τῶν Ἀπολυτικίων καὶ τῶν Μεγαλυναρίων τοῦ Ἁγίου Ἱερομάρτυρος Ἰωακείμ, Ἐπισκόπου Πέτρας καὶ τοῦ κοινοῦ τῶν ἐκ Μοχοῦ καταγομένων Ἁγίων Νεοφύτου Κνωσσοῦ καὶ Χεῤῥονήσου Ἰωακείμ, συνταχθέντων ὑπὸ τοῦ Ἱερέως Εὐαγγέλου Παχυγιαννάκη.

www.tezaurliturgic.ro



τοῦ λαοῦ ὑπερμαχῶν· διὰ τοῦτο ἐκομίσω στέφος διπλοῦν, ὡς Μάρτυς καὶ Ἱεράρχης. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ δωρησαμένῳ σε ἡμῖν, γέρας καὶ καύχημα.

Ἁγίου Καλλινίκου τοῦ Κυδωνίας Ἐπισκόπου.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Φερώνυμον ἤνυσας, δι' ἀρετῆς βιοτήν, καὶ νίκην Καλλίνικε, κατὰ βαρβάρων ἐχθρῶν, λαμπρὰν ἐπετέλεσας· σὺ γὰρ αὐτῶν κακίᾳ, ἐν εἱρκτῇ ἐνεκλείσθης, ἔνθα Μαρτύρων χαίρων, ὑπεδέξω τὸ στέφος· διό σε εὐφημοῦμεν, Θεὸν μεγαλύνοντες.

Μεγαλυνάριον.

Χαίροις Κυδωνίας θεῖος ποιμήν, Καλλίνικε πάτερ, ὁ ἀθλήσας καρτερικῶς, ἐν χρόνοις δουλείας, τυράννων ἀλλοπίστων, εἱρκτῆς ἐγκαρτερήσας, στεῤῥῶς τὴν κάκωσιν.

Ἁγίου Μελχισεδὲκ τῆς Κισάμου Ἐπισκόπου.
Ἦχος γ΄. Θείας πίστεως.

Θείου Πνεύματος, τῇ βακτηρίᾳ, ποιμαινόμενος, ποιμὴν ἐδείχθης, Μελχισεδὲκ τῆς Κισάμου οὐράνιος, καὶ δι' ἀγχόνης τελέσας τὸν δρόμον σου, τοὺς οὐρανοὺς κατοικίαν κεκλήρωσαι. Ὅθεν πρέσβευε, Χριστῷ τῷ Θεῷ πανένδοξε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἁγίου Καλλινίκου τοῦ Διοπόλεως Ἐπισκόπου.
Ἦχος πλ. α΄. Τὴν ὡραιότητα.

Ἐκμιμησάμενος, ὡς πλήρης πίστεως, Μηνᾶν τὸν ἔνδοξον, μεγαλομάρτυρα, ἐν τῷ σεπτῷ ναῷ αὐτοῦ, ἐνήθλησας στεῤῥοψύχως, καὶ ῥοαῖς αἱμάτων σου, Ἐκκλησίας ἐποίκιλας, ἐν ἐσχάτοις ἔτεσι, τὸν χιτῶνα Καλλίνικε· διό σε κατὰ χρέος γεραίρει, ἐπιτελοῦσά σου τὴν μνήμην.

Κοινὸν τῶν ἁγίων Νεοφύτου Κνωσοῦ καὶ Χεῤῥονήσου Ἰωακείμ, ὡς ἐκ τῆς κώμης Μοχοῦ καταγομένων.
Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τοῦ Μοχοῦ θείους γόνους, ἐν ᾠδαῖς μεγαλύνωμεν, τὸν Ἰωακεὶμ Χεῤῥονήσου, καὶ Κνωσοῦ τε Νεόφυτον· προσήχθησαν γὰρ οὗτοι τῷ Χριστῷ, ὡς σφάγια ἐξόχως ἱερά, ὑπομείναντες ὡς ἄσαρκοι τὴν σφαγήν, μανίᾳ ἐχθρῶν ἀπίστων. Δόξα τῷ ἐνισχύσαντι αὐτούς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ δοξασθέντι τοῖς αὐτῶν, ἐσχάτως αἵμασι.

Μεγαλυνάριον.

Δίφωτος λυχνία μαρτυρική, ὤφθη ἐν ἐσχάτοις, ὁ Νεόφυτος τῆς Κνωσοῦ, σὺν τῷ Χεῤῥονήσου Ἰωακεὶμ τῷ θείῳ, ἀμφότεροι ἐκ κώμης, Μοχοῦ ἐκφύσαντες.